UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

XVI

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

Ἀμέλει ἡ δεισιδαιμονία δόξειεν ⟨ἂν⟩ εἶναι δειλία πρὸς 1
τὸ δαιμόνιον, ὁ δὲ δεισιδαίμων τοιοῦτός τις, οἷος †ἐπιχρωνῆν† 2
ἀπονιψάμενος τὰς χεῖρας καὶ περιρρανάμενος ἀπὸ ἱεροῦ
δάφνην εἰς τὸ στόμα λαβὼν οὕτω τὴν ἡμέραν περιπατεῖν.
καὶ τὴν ὁδὸν ἐὰν ὑπερδράμῃ γαλῆ, μὴ πρότερον πορευθῆναι, 3
ἕως διεξέλθῃ τις ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ.
καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, ἐὰν παρείαν, Σαβάδιον καλεῖν, 4
ἐὰν δὲ ἱερόν, ἐνταῦθα ἡρῷον εὐθὺς ἱδρύσασθαι. καὶ τῶν 5
λιπαρῶν λίθων τῶν ἐν ταῖς τριόδοις παριὼν ἐκ τῆς ληκύθου
ἔλαιον καταχεῖν καὶ ἐπὶ γόνατα πεσὼν καὶ προσκυνήσας
ἀπαλλάττεσθαι. καὶ ἐὰν μῦς θύλακον ἀλφίτων διαφάγῃ, 6
πρὸς τὸν ἐξηγητὴν ἐλθὼν ἐρωτᾶν, τί χρὴ ποιεῖν· καὶ ἐὰν
ἀποκρίνηται αὐτῷ ἐκδοῦναι τῷ σκυτοδέψῃ ἐπιρράψαι, μὴ
προσέχειν τούτοις, ἀλλ' ἀποτραπεὶς ἐκθύσασθαι. καὶ πυκνὰ 7
δὲ τὴν οἰκίαν καθᾶραι δεινὸς Ἑκάτης φάσκων ἐπαγωγὴν
γεγονέναι· κἂν γλαῦκες βαδίζοντος αὐτοῦ ⟨ἀνακράγωσι⟩, 8

---

M: Περὶ δεισιδαιμονίας ιϛʹ. Ἡ δεισιδαιμονία δειλία τις ἐστι πρὸς τὸ δαιμόνιον ὥς τινες εἰ παραδραμούσης γαλῆς οὐ πορεύωνται ἕως διεξέλθῃ τὴν ὁδόν. ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαλάβῃ. ὁμοίως γλαῦκας δεδίττονται.

---

XVI. 1 tit. *ἀπὸ τῶν τοῦ θεοφράστου χαρακτήρων, ιϛʹ· χαρακτὴρ δεισιδαιμονίας*: ∽ V   2 *ἂν* om. V: suppl. recc.   3 *ἐπιχρωνῆν* V: *Χοῶν* mentionem latere credunt Duebner et Foss, *ἐπὶ κρήνην* (*κρήνῃ*) Siebenkees-Jebb, *ἐπ' ἐννεακρούνου* Hanow, *ἐπιδὼν κορώνην* Usener, *περιτυχὼν νεκρῷ* Herwerden: *ἐπιθιγὼν ἠρίου* Ilberg   4 ante *ἱεροῦ* litura (*τοῦ* erasum credunt) V   6 *ὑπερδράμῃ* Pauw: *περιδράμῃ* V: *παραδράμῃ* recc.   7 *ἕως* ⟨*ἂν*⟩ Cobet   *διαλάβῃ* V: corr. Sylburg   8 *καὶ ὅταν ἴδῃ* Cobet   *ἐὰν* ⟨*μὲν*⟩ *παρείαν* Ussing   *σαβάδιον* V (cf. Kretschmer *Einl. in d. gr. Spr.* p. 196): *Σαβάζιον* ex xxvii 8 inde a Schneidero vulgo   9 *ἡρῷον* Duebner: *ἱερῷον* (*ι* in ras.) V   12 *ἀλφίτων* recc. (cf. Xen. Hell. i 7, 11; Babr. 108, 16): *ἀλφίτην* V: *ἀλφιτηρὸν* Preller   *διατράγῃ* Hirschig (1849; cf. Clem. Strom. vii 4, 24)   15 *ἀποτροπαίοις* Wyttenbach   *ἐκλύσασθαι* V: corr. Bernard   16 *καθῆραι* Cobet   *δεινῶς* V: corr. Corais   17 *ἀνακράγωσι* suppl. Foss (cf. Menandr. fr. 534 K.). at periit fortasse rarius ocabulum ut Cobeti *κακκαβίζωσι* (Aristoph. Lys. 761) vel nostrum *ύζωσι* (Poll. 5, 90)

ταράττεσθαι καὶ εἴπας· ‘ ’Αθηνᾶ κρείττων ’ παρελθεῖν οὕτω.
9 καὶ οὔτε ἐπιβῆναι μνήματι οὔτ’ ἐπὶ νεκρὸν οὔτ’ ἐπὶ λεχὼ
ἐλθεῖν ἐθελῆσαι, ἀλλὰ τὸ μὴ μιαίνεσθαι συμφέρον αὐτῷ
10 φῆσαι εἶναι. καὶ ταῖς τετράσι δὲ καὶ ταῖς ἑβδομάσι προσ-
τάξας οἶνον ἕψειν τοῖς ἔνδον, ἐξελθὼν ἀγοράσαι μυρρίνας,
λιβανωτόν, πόπανα καὶ εἰσελθὼν [εἴσω] στεφανῶν τοὺς
11 Ἑρμαφροδίτους ὅλην τὴν ἡμέραν. καὶ ὅταν ἐνύπνιον ἴδῃ,
πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς
τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων, τίνι θεῶν ἢ θεᾷ εὔχεσθαι
12 δεῖ. καὶ τελεσθησόμενος πρὸς τοὺς ’Ορφεοτελεστὰς κατὰ
μῆνα πορεύεσθαι μετὰ τῆς γυναικὸς (ἐὰν δὲ μὴ σχολάζῃ
13 ἡ γυνή, μετὰ τῆς τίτθης) καὶ τῶν παίδων. καὶ τῶν
περιρραινομένων ἐπὶ θαλάττης ἐπιμελῶς δόξειεν ἂν εἶναι.
14 κἄν ποτε ἐπίδῃ σκορόδῳ ἐστεμμένον τῶν ἐπὶ ταῖς τριόδοις,
ἀπελθὼν κατὰ κεφαλῆς λούσασθαι καὶ ἱερείας καλέσας
15 σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθᾶραι. μαινόμενον
δὲ ἰδὼν ἢ ἐπίληπτον φρίξας εἰς κόλπον πτύσαι.

---

*καὶ ἐπιβῆναι μνήματι.* *ἢ νεκρῷ.* *καὶ τετράδας* (inceperat *τεσ . . .*) *καὶ ζι′* (altera linea obscura) *ἡμερῶν ἀσφαλίζονται μαινόμενον τε ἰδόντα, φρίξαντα εἰς κόλπον πτύσαι.* *καὶ σκύλλῃ ἢ σκύλακι περικαθάρασθαι :*

---

18 ταράττεται V: corr. Corais  εἴπας correctum in εἴπου V  20 ἀλλὰ] ἅμα (servato φήσας) Meineke  μαίνεσθαι Siebenkees: μαίνεσθαι V  αὐτῶ V  21 φήσας V: corr. Schneider  ἑβδόμαις ⟨φθίνοντος⟩ Immisch  22 ἕψειν V: an ἡθεῖν?  μυρσίνας V  23 λιβανωτόν, πόπανα Foss: λιβανωτῶν πίνακα V: λιβ., στύρακα Meier  post εἴσω lacunam statuit Hartung: suppleam διατελεῖν  24 ἑρμαφρο, suprascr. δ′τ V: Ἑρμαφροδίτους quod scribunt dubium. fortasse Ἑρμᾶς ῥοδίνοις cf. Theopomp fr. 283 (Porphyr. d. abst. ii 16)  26 θεῷ ἢ θεᾷ recc. (contra formulam); immo θεῶν [ἢ θεᾷ] vel θεῶν ἢ θύειν ⟨ἢ⟩ scribe  27 τελεσθησόμενος κτλ.] *particeps futurus initiorum quot mensibus iterandorum* (cf. Schol. Soph. O. T. 387)  29 παίδων sic V: παιδίων recc.  30 ἐπὶ V: ἀπὸ Schneider  31 ἐστεμμένων τῶν V: correxi (ἐστεμμένον τινὰ Kayser); intellego: *simulatque aliquem eorum qui considere solent in triviis averruncandi causa alio coronatum vidit, aemulatus ille etiam fortiora contra daemonas purgamenta adhibet.* alii alia temptarunt: σκορόδων ἐσθίοντα τῶν Siebenkees-Schneider, σκορόδων ἐφημμένον τῶν Ast, σκόροδον σιτούμενόν τινα R. Schoell, ἐσκοροδισμένον τινὰ Wilamowitz  32 ἀπελθόντων, corr. ex ἐπελθόντων V: corr. recc.  33 σκίλλῃ ἢ σκύλακι V M: σκίλλῃ καὶ δᾳδὶ Cobet: [σκίλλῃ ἢ] σκύλακι Wilamowitz  αὐτὸν V  34 δὲ Blaydes: τε V  φρίξας ⟨τρὶς⟩ Hirschig

si (δὲ) meliora velint'

Ἀθηνᾶ κρείττω (Zahn) „Athene hilft"
(sc. als Dirnenhalter)

ἐπιβῆναι

ἐπιβῆναι .... ἐλθεῖν   od. ἐπελθεῖν < ἐπιβῆναι / ἐλθεῖν

21 ἑβδομάσι <φθινούσαις> (Tage des letzten Dekade = nefasti Hes. E. 797)

ν ς <πέσσω>  v. 7: Geburtstage der Götter  cf. Ar. Plut. 231

πόπανα : Opferkuchen   εἰσελθὼν ἕψειν : vulg. f. [illegible]

Hermen

στεφανῶν <διατελεῖν> τοὺς Ἑρμᾶς <ἐφοδίους>

od. στεφανοῦν

ἐνύπνιον : cf. Menand. Orgebatos

fehlt Verbum zu στεφανῶν <διατελεῖν>

anstelle von ἐᾶν:

τίνι θεῶν ἢ θεαῖν <ἢ> : ἢ θεᾷ : Schemata, Vergleiche?  θεᾷ suspekt!

τελεσθησόμενος : fut. sing. wie < ἐπετελέσθην

κατὰ μῆνα jeden Monat zu Eleusis (Lunà!)

σκίλλῃ Meerzwiebel   ἀπελθὼν : nach Hause zurückgekehrt:

κυσὶν junger Hund (Hekaten Lebensopfer)

περικαθᾶραι 'ringsherum entsühnen' 'rituell herumtragen'

cf. Plaut. Capt. 553 'qui sputatur morbus'.

τελεστὰς Reinigungspriester
(nicht Kyp[illegible])
bei Orpheus-Wanderpriestern:
Schlechter Ruf

ἠθεῖν : sieben, filtern

v. 7. Tag des Monats

ἑβδομάδες / τετράς ; ἑβδομάσι

Geburtstage der πρώτων θεῶν:

Hermes – Apollo

(oder: dies nefasti ?)

an solchen Tagen außer Rand und Band

Ἔστιν ἡ μεμψιμοιρία ἐπιτίμησις παρὰ τὸ προσῆκον 1
τῶν δεδομένων, ὁ δὲ μεμψίμοιρος τοιόσδε τις, οἷος ἀπο- 2
στείλαντος μερίδα τοῦ φίλου εἰπεῖν πρὸς τὸν φέροντα·
'ἐφθόνησέν μοι τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου οὐκ ἐπὶ δεῖπνον
καλέσας'. καὶ ὑπὸ τῆς ἑταίρας καταφιλούμενος εἰπεῖν· 'θαυ- 3
μάζω, εἰ σὺ καὶ ἀπὸ τῆς ψυχῆς οὕτω με φιλεῖς'. καὶ τῷ 4
Διὶ ἀγανακτεῖν, οὐ διότι ὕει, ἀλλὰ διότι ὕστερον. καὶ εὑρὼν 5
ἐν τῇ ὁδῷ βαλλάντιον εἰπεῖν· 'ἀλλ' οὐ θησαυρὸν εὕρηκα
οὐδέποτε'. καὶ πριάμενος ἀνδράποδον ἄξιον καὶ πολλὰ 6
δεηθεὶς τοῦ πωλοῦντος· 'θαυμάζω' εἰπεῖν 'ὅ τι ὑγιὲς οὕτω
ἄξιον ἐώνημαι'. καὶ πρὸς τὸν εὐαγγελιζόμενον ὅτι 'υἱός 7
σοι γέγονεν', εἰπεῖν ὅτι 'ἂν προσθῇς· "καὶ τῆς οὐσίας τὸ
ἥμισυ ἄπεστιν" ἀληθῆ ἐρεῖς'. καὶ δίκην νικήσας καὶ λαβὼν 8
πάσας τὰς ψήφους ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον, ὡς
πολλὰ παραλελοιπότι τῶν δικαίων· καὶ ἐράνου εἰσενεχθέντος 9
παρὰ τῶν φίλων καὶ φήσαντός τινος· 'ἱλαρὸς ἴσθι', 'καὶ
πῶς;' εἰπεῖν, 'ὅτι δεῖ τἀργύριον ἀποδοῦναι ἑκάστῳ καὶ χωρὶς
τούτων χάριν ὀφείλειν ὡς εὐεργετημένον;'

---

M : Περὶ μεμψιμοιρίας ιζ′. Ἡ μεμψιμοιρία ἐπιτίμησίς τις ἐστίν. οἷον εἴ τις φιλούμενος ὑπὸ τῆς ἑταίρας φήσειεν. θαυμάζω εἰ ἀπὸ ψυχῆς σου φιλεῖς με. καὶ ἀγανακτεῖν ὅτι οὐχ ὕει. καὶ εὑρών τι ἀσχάλλειν ὅτι μὴ ἀξιολογώτερον. καὶ ὅσα τοιαῦτα γογγυστικῆς γνώμης δείγματα.

---

XVII. 2 ἔστι δὲ ἡ recc. παρὰ τῶν (compend.) προσή (suprascriptis compendiose litteris κ′τ) δεδομένων sic V, i. e. si inferior accentus (super η) valet προσήκοντα, sin superior προσηκόντων. atqui articulo altera lectio confirmatur. inde παρὰ τὸ προσῆκον rest. recc., τῶν ante δεδομένων ego scripsi 5 ἐφθόνησάς (comp.) V : corr. Pauw 6 κατα super φιλούμενος V 7 [τῆς] post recc. (cf. M) del. Meineke οὕτω] ὄντως Blaydes 13 σοι ex σου corr. V 14 ἀπέστην V : corr. recc. δίκην Casaubon : νίκην V 15 ἐγκαλεῖ V : corr. Stephanus 18 ὅτε Casaubon